γωνος. καὶ ὁ Β ἄρα τετράγωνός ἐστι· καὶ ἐπεὶ οἱ Β Γ Δ
ἑξῆς ἀνάλογόν εἰσι, καὶ ἔστιν ὁ Β τετράγωνος, καὶ ὁ Δ ἄρα
τετράγωνός ἐστιν. ὁμοίως δὴ δείξομεν ὅτι καὶ οἱ ἕνα [illegible]
πάντες τετράγωνοί εἰσιν· ἀλλὰ δὴ ἔστω ὁ Δ κύβος. λέ-
γω ὅτι καὶ οἱ λοιποὶ πάντες κύβοι εἰσίν· ὅτι μὲν οὖν
ὁ τέταρτος ἀπὸ τῆς μονάδος ὁ Γ κύβος ἐστὶ καὶ οἱ δύ-
ο διαλείποντες πάντες, δέδεικται· λέγω δὴ ὅτι καὶ οἱ
λοιποὶ πάντες κύβοι εἰσίν· ἐπεὶ γάρ ἐστιν ὡς ἡ μονὰς
πρὸς τὸν Α, οὕτως ὁ Δ πρὸς τὸν Β· ἰσάκις ἄρα ἡ μονὰς
τὸν Α μετρεῖ, καὶ ὁ Δ τὸν Β· ἡ δὲ μονὰς τὸν Α μετρεῖ κα-
τὰ τὰς ἐν αὐτῷ μονάδας· ὁ Δ ἄρα τὸν Β μετρεῖ κα-
τὰ τὰς [illegible] μονάδας [illegible] ἑαυτὸν πολλα-
πλασιάσας τὸν Β [illegible] καὶ ὁ Δ κύβος
[illegible] κύβος [illegible]
ποιεῖ τινα [illegible]
μετρῶν [illegible] κύβος ἐστί·
καὶ ὁ Β ἄρα κύβος ἐστί·
καὶ ἐπεὶ οἱ [illegible] ἀ-
ριθμοὶ οἱ Δ Ε Ζ ἑξῆς
ἀνάλογόν εἰσι, καὶ ἐστὶν
ὁ Δ κύβος, καὶ ὁ Ζ ἄρα
[illegible] κύβος ἐστὶν· διὰ
τὰ αὐτὰ δὴ καὶ ὁ Ε κύβος ἐστί· καὶ ὁμοίως οἱ λοιποὶ πάν-
τες κύβοι εἰσίν· ὅπερ ἔδει δεῖξαι.



Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον
ὦσιν, ὁ δὲ μετὰ τὴν μονάδα μὴ ᾖ τετράγωνος,
οὐδ' ἄλλος οὐδεὶς τετράγωνος ἔσται χωρὶς τοῦ τρίτου
ἀπὸ τῆς μονάδος καὶ τῶν ἕνα διαλειπόντων· [illegible]
καὶ ὁ μετὰ τὴν μονάδα κύβος μὴ ᾖ, οὐδὲ ἄλλος οὐδεὶς
κύβος ἔσται χωρὶς τοῦ τετάρτου ἀπὸ τῆς μονάδος καὶ
τῶν δύο διαλειπόντων πάντων. ἔστωσαν [illegible]
[illegible] ἑξῆς ἀνάλογον ὁποσοιοῦν ἀριθμοὶ [illegible] οἱ Α Β
Γ Δ Ε Ζ. ὁ δὲ μετὰ τὴν μονάδα [illegible] μὴ ἔστω τετράγωνος. λέ-
γω ὅτι οὐδ' ἄλλος οὐδεὶς τετράγωνος ἔσται χωρὶς
τοῦ τρίτου ἀπὸ τῆς μονάδος καὶ τῶν ἕνα διαλειπόντων·
εἰ γὰρ δυνατὸν, ἔστω ὁ Γ τετράγωνος. ἔστι δὲ καὶ ὁ Β
τετράγωνος. [illegible] πρὸς ἀλλήλους λόγον ἔχουσιν
ὃν τετράγωνος [illegible] πρὸς τετράγωνον ἀριθμόν·
καὶ ἔστιν [illegible] πρὸς Β. οἱ Α Β ἄρα πρὸς ἀλ-
λήλους λόγον ἔχουσιν, ὃν τετράγωνος ἀριθμὸς
πρὸς τετράγωνον ἀριθμόν· ὥστε οἱ Α Β ὅμοιοι ἐπίπε-
δοί εἰσιν. καὶ ἐστὶ τετράγωνος ὁ Β· τετράγωνος ἄρα ἐστὶ
καὶ ὁ Α· ὅπερ οὐχ ὑπέκειτο· οὐκ ἄρα ὁ Γ τετράγωνος
ἐστίν· ὁμοίως δὴ δείξομεν ὅτι οὐδ' ἄλλος οὐδεὶς τε-
τράγωνός ἐστι χωρὶς τοῦ τρίτου ἀπὸ τῆς μονάδος
καὶ τῶν ἕνα διαλειπόντων· ἀλλὰ δὴ μὴ ἔστω ὁ Α κύβος.
λέγω ὅτι οὐδ' ἄλλος οὐδεὶς κύβος ἔσται χωρὶς τοῦ
τετάρτου ἀπὸ τῆς μονάδος καὶ τῶν δύο διαλειπόν-
των· εἰ γὰρ δυνατὸν, ἔστω ὁ Δ κύβος. ἔστι δὲ καὶ ὁ Γ κύ-
βος· τέταρτος γάρ ἐστιν ἀπὸ τῆς μονάδος· [illegible]
ὡς ὁ Γ πρὸς τὸν Δ, ὁ Β πρὸς τὸν Γ· καὶ ὁ Β ἄρα πρὸς τὸν Γ [illegible]
γον ἔχει, ὃν κύβος πρὸς κύβον· καὶ [illegible] κύβος